# Ο ΠΡΟΦΗΤΗΣ ΙΕΖΕΚΙΗΛ

## (ΑΣΜΑΤΟΛΟΓΙΑ)

ΥΠΟ

Δ^ρ ΙΕΖΕΚΙΗΛ ΒΕΛΑΝΙΔΙΩΤΟΥ Δ. Θ. Κ. Ν.

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΒΕΛΑΝΙΔΙΑΣ
ΕΦΗΜΕΡΕΥΟΝΤΟΣ ΠΑΡΑ ΤΗι ΤΕΡΓΕΣΤΑΙΑι ΕΛΛΗΝΙΚΗι ΚΟΙΝΟΤΗΤΙ

ΕΚΔΟΣΙΣ ΠΡΩΤΗ

Ἐν Τεργέστῃ
Τύποις Αὐστριακοῦ Λόϋδ
1912

*«Καὶ ἀναστήσω ἐπ' αὐτοὺς
Ποιμένα τὸν δοῦλον μου Δαυίδ».*
Ἰεζ. ΛΔ. 22

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ «ΦΟΙΝΙΚΟΣ» ΟΔΟΣ ΣΤΑΔΙΟΥ 44
1931

ΜΕΛΕΤΙΩι

ΕΠΙΣΚΟΠΩ ΜΕΣΣΗΝΙΑΣ

ΕΜΟΙ ΔΕ ΠΝΕΥΜΑΤΙΚΩ ΠΑΤΡΙ ΚΑΙ ΠΡΟΣΚΥΝΗΤΩ

ΔΕΣΠΟΤΗι

Ο ΠΟΝΗΣΑΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ




Έργον Ν. ΔΟΝΤΑ Ζωγράφου — ΚΑΡΔΙΤΣΑ

ΩΔΗ ΠΡΟΣ ΤΟΥΣ ΗΡΩΑΣ

**ποιηθεῖσα ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Θεσσαλιώτιδος καὶ Φαναριοφερσάλων κ. Ἰεζεκιὴλ Κατάλληλος ἵνα ψάλληται κατὰ τὸ Μνημόσυνον τῶν ἐν πολέμοις πεσόντων καὶ τὴν Δοξολογίαν τῆς Ἐθνικῆς Ἑορτῆς.**

ΜΕΛΟΠΟΙΗΘΕΙΣΑ ΕΙΣ ΔΕΥΤΕΡΑΝ ΕΚΔΟΣΙΝ

**ὑπὸ Κων. Πρίτσα Πρωτοψάλτου τοῦ ἐν Καρδίτσῃ Μητροπολιτικοῦ Ναοῦ τοῦ Ἁγίου Κωνσταντίνου ἔτει 1931**

Ἀνδρῶν ἡρώων
προμάχων πατρίδος
Φιλελλήνων μαχητῶν εὐκλεῶν
καὶ
Λογάδων τοῦ Γένους σοφῶν
ἡ μνήμη ἀγήρως.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΑΠΟΛΥΤΙΚΙΟΝ
### ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΙΕΖΕΚΙΗΛ ΕΙΣ ΗΧΟΝ Γ' ΑΥΤΟΜΕΛΛΟΝ

***Ποίησις τοῦ Μητροπολίτου Θεσαλιώτιδος καὶ Φαναριοφερσάλων κ. Ἰεζεκιὴλ Τονισθὲν δὲ ὑπὸ τοῦ πρωτοψάλτου τῆς Μητροπόλεως Καρδίτσης κ. Κωνσταντ. Πρίτσα***





## ΠΡΟΛΟΓΟΣ

ΕΝ ΠΑΣΑΙΣ ταῖς ἐκδόσεσι τῶν Ἐκκλησιαστικῶν Μηναίων, οὐδαμοῦ ἀναγράφεται ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου προφήτου Ἰεζεκιήλ, ἐκ τῶν τεσσάρων τυγχάνοντος μειζόνων προφητῶν, ἀλλ' ἁπλῶς ἡ σεπτὴ αὐτοῦ μνήμη ἀναφέρεται τῇ 23ῃ Ἰουλίου διὰ τοῦ γνωστοῦ τύπου ἐν τῷ Συναξαρίῳ «Τῇ αὐτῇ ἡμέρᾳ.» Ἐκ τούτου ἔγνων ὅπως συνθέσω τακτικὴν τοιαύτην ἀκολουθίαν χάριν τῶν βουλομένων ὅπως πανηγυρικώτερον τὴν μνήμην τοῦ μάρτυρος προφήτου ἑορτάζωσι.

Εἶναι ἀληθὲς ὅτι ὁ ἀοίδιμος καὶ σεβάσμιος ἐν Ἱερομονάχοις καὶ Ἱεροδιδασκάλοις Βαρθολομαῖος ὁ Κουτλουμουσιανός, ἐν τῇ κατ' ἐπιστασίαν αὐτοῦ ἐκδόσει τῶν Μηναίων, καθ' ἣν Πατριαρχικῇ καὶ Συνοδικῇ διαγνώμῃ μακρὰν ἐποιήσατο ἀντιβολὴν καὶ πρὸς ἄλλα τε καὶ ἰδίᾳ πρὸς τὰ ἐν τῇ κατ' Ἄθω Ἱερᾷ Μονῇ τοῦ Κουτλουμουσίου χειρόγραφα, ἔνθα εἶχε καὶ τὴν μετάνοιαν αὐτοῦ ὁ γεραρὸς τοῦ Γένους διδάσκαλος, ὅτε καὶ πολλὰ διόρθωσεν ἀβλεπτήματα τῶν προηγουμένων ἐκδόσεων, ἀναγράφει ἐν τῇ ἀκολουθίᾳ τῶν Ὁσίων Πατέρων ἡμῶν Ἰωάννου καὶ Συμεὼν κατὰ τὴν ΚΑ' Ἰουλίου καὶ ἐν ὑποσημειώσει τάδε· «Τὸ χειρόγραφον ἔχει σήμερον καὶ ἑτέραν ἀκολουθίαν τοῦ προφήτου Ἰεζεκιήλ, τοῦ κατὰ τὴν ΚΓ' τοῦ παρόντος μηνὸς ἀναφερομένου μόνον ἐν τῷ Συναξαριστῇ» (πρβλ. Μηναῖον Ἰουλίου ΚΑ' σελ. 109 Βενετίᾳ 1852), ἀλλὰ τὸ χειρόγραφον τοῦτο οὐδόλως εἶδον διὰ τὸ δύσκολον τῆς ἐκζητήσεως καὶ ἀντιγραφῆς. Ὁμοίως δὲ καὶ Ὡρολόγιον ἔντυπον Ἐνετίησιν αψϟζ (ἤτοι 1797) ἀναγράφει τῇ 21 Ἰουλίου τὴν μνήμην τοῦ Προφήτου Ἰεζεκιὴλ μετὰ τῶν Ἰωάννου καὶ Συμεὼν τῶν διὰ Χριστοῦ Σαλοῦ, ἐν ᾧ εἰς τὰς 23 Ἰουλίου ἀναγράφει τὴν μνήμην Τροφίμου καὶ Θεοφίλου παραλειπομένου τοῦ Φωκᾶ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Ἐξ ἄλλου τὸ ἐκ κώδικός τινος Κυπριακοῦ δημοσιευθὲν πρὸ ἐτῶν ἑορτολόγιον ἐν τῇ Νέᾳ Σιὼν Ἱεροσολύμων ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Νικαίας κ. Βασιλείου, [1] τὴν μνήμην τοῦ προφήτου Ἰεζεκιὴλ ἀναφέρει οὐχὶ τῇ 23η Ἰουλίου ἀλλὰ τῇ 3η Ἀπριλίου.

*Ἐν Τεργέστῃ κατ' Ὀκτώβριον 1911.*

ΑΡΧΙΜ. ΙΕΖΕΚΙΗΛ ΒΕΛΑΝΙΔΙΩΤΗΣ

---

[1] Σ.Ε. τοῦ κατόπιν Οἰκουμενικοῦ Πατριάρχου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΙΟΥΛΙΟΥ ΚΓ΄

Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἰεζεκιήλ.

Εἰς τὸν Ἑσπερινὸν

Μετὰ τὸν Προοιμιακὸν ψαλμόν, Στιχολογοῦμεν τὴν α΄. στάσιν τοῦ Μακάριος ἀνήρ.

Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ΣΤ΄ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια διπλασιάζοντες.

Ἦχος πλ. Δ΄. Κύριε εἰ καὶ κριτηρίῳ.

Κύριε εἰ καὶ αἰχμαλωσίαν ἐθρήνει, Ἰεζεκιὴλ ὁ ἔνθεος, ἀλλὰ τὴν ἐκ σοῦ παραμυθίαν, ὡς Προφήτης προέλεγε, καὶ τὴν ἀποκατάστασιν τῶν δέκα φυλῶν προανήγγειλε, προκαταγγέλων τὸν Χριστόν, σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Δὶς Ὅμοιον

Κύριε, σὺ προγνωστικὸν τῷ Ἰεζεκιὴλ χάρισμα, ἐδωρήσω ὡς Θεός, ἵνα τὴν σύστασιν τῆς μελλούσης Ἐκκλησίας, καὶ τὴν ἀνοικοδόμησιν τοῦ τεμένους σου, προαναγγείλῃ τοῖς αἰχμαλώτοις, οὗ ταῖς πρεσβείαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Δὶς Ὅμοιον

Κύριε, ἐλπίδας σωστικάς, καὶ τὴν γῆν τῆς ἐπαγγελίας ὁ προφήτης σου, τῷ Ἰσραὴλ εὐηγγελίζετο, αἰχμαλωσίας τὰ δεινὰ κατεπράϋνε, καὶ Ποιμένα ἀληθῆ τὸν Χριστὸν προεκήρυττε, σῶσον ὑμᾶς ὡς φιλάνθρωπος.

Δόξα Πλ. β΄.

Δεῦτε τῶν πιστῶν ὁ ὅμιλος αὐλισθέντες ἐνθέως, ἐν τῷ πανσέπτῳ Ναῷ τοῦ θεοπνεύστου Προφήτου, καταλαμπρύνωμεν τοῦ Ἰεζεκιὴλ τὴν αἴδιον μνήμην, καὶ ἐν ἀγαλλιάσει ἀνακράξωμεν, χαίροις ὑποφῆτα ἔνδοξε, δοχεῖον φωτοειδὲς τοῦ Πνεύματος, χαίροις παρηγορίας Ἄγγειλε, καὶ τοῦ ἁμαρτωλοῦ Ἰσραὴλ ἐλεγκτὰ ἀδέκαστε, ἱκέτευε Χριστῷ τῷ Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτόκιον.

Τίς μὴ μακαρίσῃ σε Θεοτόκε Παρθένε; τὶς μὴ ἀναμνήσῃ σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν; ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς. οὐκ εἰς δυάδα προσώπων τεμνόμενος ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς Ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.
Κεφ. ΛΔ, 1—11.

Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων. Υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ τοὺς ποιμένας τοὺς Ἰσραήλ, προφήτευσον καὶ εἰπὲ τοῖς ποιμέσι. Τάδε λέγει Κύριος Ὦ ποιμένες Ἰσραήλ, μὴ βόσκουσιν ποιμένες ἑαυτούς; οὐ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; ἰδοὺ τὸ γάλα κατέσθετε καὶ τὰ ἔρια περιβάλλετε, καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε.

Τὸ ἠσθενικὸς οὐκ ἐνισχύσατε, καὶ τὸ κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε, καὶ τὸ συντετριμμένον οὐ κατεδήσατε, καὶ τὸ πλανώμενον οὐκ ἀπεστρέψατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε μόχθῳ. Καὶ διεσπάρη τὰ προβατά μου διὰ τὸ μὴ ἔχειν ποιμένας, καὶ ἐγεννήθη εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. Καὶ διεσπάρη τὰ πρόβατά μου ἐν παντὶ ὄρει, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλόν, καὶ ἐπὶ προσώπου τῆς γῆς διεσπάρη, καὶ οὐκ ἦν ὁ ἐκζητῶν οὐδὲ ὁ ἀποστρέφων. Διὰ τοῦτο ποιμένες ἀκούσατε λόγον Κυρίου. Ζῶ ἐγὼ λέγει Κύριος Κύριος εἰ μὲν ἀντὶ τοῦ γενέσθαι τὰ πρόβατά μου εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ πεδίου, παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ οὐκ ἐξεζήτησαν οἱ ποιμένες τὰ πρόβατά μου. καὶ ἐβόσκησαν οἱ ποιμένες ἑαυτούς, τὰ δὲ πρόβατά μου οὐκ ἐβόσκησαν. Ἀντὶ τούτου ποιμένες τάδε λέγει Κύριος Κύριος. Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν,



καὶ ἀποστρέψω αὐτοὺς τοῦ μὴ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ βοσκήσουσιν ἔτι οἱ ποιμένες αὐτά, ἐξελοῦμαι τὰ πρόβατά μου ἐκ τοῦ στόματος αὐτῶν, καὶ οὐκ ἔσονται αὐτοῖς ἔτι εἰς κατάβρωμα.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.
Κεφ. ΛΔ, 11—17.

Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου καὶ ἐπισκέψομαι αὐτά. Ὥσπερ ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον αὐτοῦ ἐν ἡμέρᾳ ὅτ' ἂν ᾖ γνόφος καὶ νεφέλη ἐν μέσῳ προβάτων διακεχωρισμένων, οὕτως ἐκζητήσω τὰ πρόβατά μου, καὶ ἀπελάσω αὐτὰ ἀπὸ παντὸς τόπου, οὗ διεσπάρησαν ἐκεῖ ἐν ἡμέρᾳ νεφέλης καὶ γνόφου. Καὶ ἐξάξω αὐτὰ ἐκ τῶν ἐθνῶν, καὶ συνάξω αὐτὰ ἀπὸ τῶν χωρῶν, καὶ εἰσάξω αὐτὰ εἰς τὴν γῆν αὐτῶν, καὶ βοσκήσω αὐτὰ ἐπὶ τὰ ὄρει Ἰσραήλ, καὶ ἐν ταῖς φάραγξι, καὶ ἐν πάσῃ κατοικίᾳ τῆς γῆς, ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτὰ ἐν τῷ ὄρει τῷ ὑψηλῷ Ἰσραήλ, καὶ ἔσονται αἱ μάνδραι αὐτῶν ἐκεῖ, καὶ κοιμηθήσονται, καὶ ἐκεῖ ἀναπαύσονται, ἐν τρυφῇ ἀγαθῇ, καὶ ἐν νομῇ πίονι βοσκηθήσονται ἐπὶ τῶν ὀρέων Ἰσραήλ. Ἐγὼ βοσκήσω τὰ πρόβατά μου καὶ ἐγὼ ἀναπαύσω αὐτά, καὶ γνώσονται ὅτι ἐγὼ εἰμι Κύριος. Τάδε λέγει Κύριος Κύριος. Τὸ ἀπολωλὸς ζητήσω καὶ τὸ πλανώμενον ἀποστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ ἐκλεῖπον ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν φυλάξω, καὶ βοσκήσω αὐτὰ μετὰ τοῦ κρίματος.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.
Κεφ ΛΔ, 17 - 31.

Τάδε λέγει Κύριος. Ἰδοὺ ἐγὼ διακρινῶ ἀναμέσον προβάτου καὶ προβάτου, κριῶν καὶ τράγων. Καὶ οὐχ ἱκανὸν ἡμῖν ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς νομῆς ὑμῶν κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν, καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε. Καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ἡμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ, ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. Διὰ τοῦτο τάδε λέγει Κύριος. Ἰδοὺ ἐγὼ διακρινῶ ἀναμέσον προβάτου ἰσχυροῦ καὶ ἀναμέσον προβάτου ἀσθενοῦς. Ἐπὶ ταῖς

πλευραῖς καὶ τοῖς ὤμοις ὑμῶν διωθεῖσθε, καὶ τοῖς κέρασιν ὑμῶν ἐκερατίζετε, καὶ πᾶν τὸ ἐκλεῖπον ἐξεθλίβετε. Καὶ σώσω τὰ πρόβατά μου, καὶ οὐ μὴ ὦσιν ἔτι εἰς προνομήν, καὶ κρινῶ ἀναμέσον κριοῦ πρὸν κριόν, καὶ ἀναστήσω ἐπ' αὐτοῖς ποιμένα ἕνα, καὶ ποιμανεῖ αὐτούς. τὸν δοῦλον μου Δαυΐδ, καὶ ἔσται αὐτῶν ποιμήν, καὶ ἐγὼ κύριος ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ Δαυῒδ ἄρχων ἐν μέσῳ αὐτῶν Ἐγὼ Κύριος ἐλάλησα. Καὶ διαθήσομαι τῷ Δαυῒδ διαθήκην εἰρήνης, καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς καὶ κατοικήσουσιν ἐν τῇ ἐρήμῳ, καὶ ὑπνώσουσιν ἐν τοῖς δρυμοῖς, καὶ δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας. Καὶ τὰ ξύλα τὰ ἐν τῷ πεδίῳ δώσουσι τὸν καρπὸν αὐτῶν, καὶ ἡ γῆ δώσει τὸν καρπὸν αὐτῆς, καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἐν ἐλπίδι εἰρήνης, καὶ γνώσονται ὅτι ἐγὼ εἰμι κύριος, ἐν τῷ συντρῖψαί με τὸν ζυγὸν αὐτῶν, καὶ ἐξελοῦμαι αὐτοὺς ἐκ χειρὸς τῶν καταδουλωσαμένων αὐτούς, καὶ οὐκ ἔσονται ἔτι ἐν προνομῇ τοῖς ἔθνεσι, καὶ τὰ θηρία τῆς γῆς οὐκ ἔτι μὴ φάγωσιν αὐτούς, καὶ κατοικήσουσιν ἐν ἐλπίδι, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. Καὶ ἀναστήσω αὐτοῖς φυτὸν εἰρήνης, καὶ οὐκ ἔτι ἔσονται ἀπολλύμενοι λιμῷ ἐπὶ τῆς γῆς καὶ ὀνειδισμὸν ἐθνῶν οὐ μὴ ἐνέγκωσιν ἔτι, καὶ γνώσονται ὅτι ἐγὼ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, καὶ αὐτοὶ λαός μου, οἶκος Ἰσραήλ, λέγει Κύριος, πρόβατά μου καὶ πρόβατα ποιμνίου μου ἐστέ, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Εἰς τὴν Λιτὴν Στιχηρὰ ἰδιόμελα ἦχος α'.

Τῷ θείῳ πόνῳ τοῦ Χριστοῦ, Ἰεζεκιὴλ προφῆτα φλεγόμενος, τὴν αἰχμαλωσίαν εἰς οὐδὲν ἐλογίσω, ἀλλ' ἐκήρυττες Ποιμένα προσδοκώμενον, εἰς ἀντίληψιν λαοῦ τοῦ Ἰσραήλ, ὃν ἱκέτευε ὑψιπέτα, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β'.

Δαυϊτικῶς ἅπαντες πιστοὶ σήμερον εὐφημήσωμεν, Ἰεζεκιὴλ τὸν προφήτην, τὸν ζηλωτὴν καὶ ὑπέρλαμπρον, τούτου τὴν μνήμην θεοπρεπῶς ἑορτάζοντες ἐν τῷ πανσέπτῳ αὐτοῦ Ναῷ, Βελανιδιᾷ τῷ ὄρει, ἐν τῷ σπηλαίῳ, καὶ ἐν τῇ χαράδρᾳ τοῦ Ἀρφαξάδ, Αὐτοῦ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς πάντας



τοὺς τιμῶντας αὐτοῦ τὴν μνήμην διαφύλαξον, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος πλ. β'.

Σήμερον ἡ ἀδελφότης ἡμῶν ἅπασα ἀγάλλεται, τὴν μνήμην σου Ἰεζεκιὴλ γηθοσύνως ἑορτάζουσα, τὸν Ναόν σου τὸν Ἅγιον ἐν τῷ ὄρει κατακλύζουσα, εὐχαῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς προσφέρουσα, τῷ δεδοξασμένῳ καὶ μεγάλῳ προφήτῃ, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δόξα ἦχος Δ'.

Ἐν αἰχμαλωσίᾳ ζοφώδει ἀρθείς, ὦ προφῆτα μέγιστε, τὸν ζωοδότην Χριστὸν ὡς Ποιμένα ἐκήρυττες, ἐλέγχων δυσσεβῆ λαόν, καὶ Ναβουχοδονόσορα τὸν Βασιλέα, μὴ ἐπιλάθου ὅθεν καὶ ἡμῶν τῶν ἐν τῷ σπηλαίῳ σου τελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν ἦχος ὁ αὐτὸς Θεοτοκίον.

Ἄχραντε Μῆτερ Θεοῦ Παντοκράτορος, ἡ ἐκ βασιλίδος φυλῆς ἐκβλαστήσασα, καὶ μόνη τὸν Θεὸν τῶν πάντων βασιλεύοντα γεννήσασα, σαρκὶ ὑπερφυῶς κινδύνων ἡμᾶς διάσωσον τῷ Υἱῷ σου ψάλλοντας, ἐνδόξως γὰρ δεδόξασται.

Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια ἦχος α'.

Χαίροις ὁ δόξαν θεώμενος, προφῆτα πνευματέμφορε τοῦ Ἰσραὴλ ἐγκαλώπισμα, ὁ νόμῳ ἀδιαλείπτως ἀνερευνῶν τοῦ Θεοῦ, καὶ μελλόντων ῥημάτων ἑρμηνευτὰ θεοδίδακτε, αὐτὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Ἦχος Δ'.

Χαίροις ἡ σάλπιγξ τοῦ Πνεύματος, ἡ νοητὴ χελιδών, Ποιμένα τῆς Οἰκουμένης ἡμῖν ἡ γνωρίσασα, καὶ τὸν Χριστὸν ὡς Μεσσίαν δι' ἀπολύτρωσιν δείξασα, ὃν νῦν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Ὁ αὐτὸς

Χαίροις Προφῆτα Θεσπέσιε, τῶν αἰχμαλώτων λυτρωτὰ καὶ παρήγορε, ὁ ἥλιος ὁ λαμπρότατος, ἡ πηγὴ ἡ ἀείρρητος,

...ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

τῆς Οἰκουμένης τὸ ἀκατάσειστον θέμεθλον, τὸν Σωτῆρα ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα ἦχ. πλ. δ.'

Ιεζεκιὴλ προφήτης μεγαλώνυμος, ἐν Χαλδαίᾳ ποιμένα Σε ἀπεκάλεσε Κύριε, καὶ Μεσσίαν προσηγόρευσε, Σὲ τὸν ἀσπόρως σαρκωθέντα Λόγον, τὸν ἀπειροτέλειον Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον.

Τοῦ λίθου σφραγισθέντος. Ἠχ. α'.

Τὸν Προφήτην βοῶντα τῇ κεχαριτωμένῃ, σὺ εἶ Πύλη Κυρίου ἐν ᾗ οὐδεὶς διῆλθεν εἰμὴ ὁ Θεὸς μόνος, ἀνυμνήσωμεν πάντες Ἰεζεκιὴλ τὸν Ὑπέρλαμπρον, προεῖπε γὰρ οὗτος Θεοπνεύστως, τὸν ποιμένα καὶ Κύριον, δι' αὐτοῦ δυσωποῦντες ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.

ἦχ. α'. Τὸν τάφον σου Σωτὴρ

Ποιμένα ἀληθῆ τὸν Χριστὸν κατωνόμασας, ἐνώπιον λαοῦ ἐμπεσόντος τῆς χάριτος, καὶ τοῦτον ἐκήρυττες ὡς Μεσσίαν πανεύφημε, σὲ ἐμπνέοντα εἰς τὸ προλέγειν τὰ ῥήματα, τὰ σοφὰ καὶ σωτήρια.

Δόξα καὶ νῦν Θεοτοκίον

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.



Μετὰ τὴν β'. Στιχολογίαν. Κάθισμα.

Ἦχος α'. τὸν τάφον σου Σωτὴρ

Θεῷ δι' ἀρετῆς ἀληθοῦς ᾠκειώθης, οὐράνιον ζωὴν ἐπὶ γῆς βιωτεύσας, ζωὴν δὲ τῆς χάριτος κεκτημένος Μακάριε, διὰ λόγων σου τοὺς αἰχμαλώτους ἐνίσχυες, καὶ εἰς κήρυγμα τῆς μετανοίας διήγειρες, προφῆτα Οὐράνιε.

Δόξα καὶ νῦν· Θεοτόκιον.

Μητέρα σὲ Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος πλ. Δ'. τὴν σοφίαν καὶ λόγον

Τὸ δοχεῖον τοῦ λόγου καὶ προφητῶν, τὸ ἀγλάϊσμα πάντες θεοπρεπῶς, πιστῶς ἀνυμνήσωμεν, Ἰεζεκιὴλ τὸν θεσπέσιον, ἐν Βαβυλῶνι γὰρ ἔτι αἰχμάλωτος, ὑπὸ πνεύματος θείου φαιδρύνεται, ὅθεν παρρησίᾳ τὸν Ποιμένα κηρύττει, ὡς μέλλοντα σώζειντε, καὶ φωτίζειν τὸ ποίμνιον, ὃν ἱκέτευε τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος, ὡς ὁ προφήτης προεῖπε διὰ τὸν Κτίστην καὶ Κύριον. Ὅθεν τῶν Ἀγγέλων καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πίστει, τῇ σκέπῃ σου ἄχραντε.

Οἱ ἀναβαθμοί, τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. Ἤχου.

Προκείμενον ἦχος Δ'.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στιχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Πᾶσα πνοή.

Εὐαγγέλιον Ἰωάννου «Εἶπεν ὁ Κύριος ἐγὼ εἰμὶ ἡ θύρα» ἴδε 13 Νοεμβρ.

Μετὰ τὸν Ν΄. ψαλμὸν

Δόξα. Ταῖς τοῦ Προφήτου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ Ἰδιόμελον.

Ἦχ. πλ. β΄.

Τὰ τῶν ἀγγέλων τάγματα, ἐν ποικίλῃ μορφῇ κατιδών, Ἰεζεκιὴλ προϊστορῶν ἐκήρυττεν· ἐν οἷς ἑξαπτέρυγα, τὰ Σεραφεὶμ παρίστανται, καὶ τὰ Χερουβίμ, πολυομμάτως ἐκύκλουν· μεθ' ὧν τοὺς ἀρχαγγέλους ἠλεκτρίνους ἑώρα, Χριστὸν δοξολογοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ κανὼν τῆς Θεοτόκου εἰς Στίχους ΣΤ΄.

Ὁ κανὼν τοῦ Προφήτου ἦχ. δ΄. ᾠδὴ α΄.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία Σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Ἐν τῇ ἄνω Ἱερουσαλὴμ συναγάλλεσαι, θείου Πνεύματος ἀξίως ἐμφορούμενος Ἰεζεκιὴλ Θεοειδέστατε, τοὺς τὴν σὴν μνήμην ἑορτάζοντας διαφύλαττε.

Σοφίας ἔμπλεως πνευματικῆς, ὑπάρχων Ἰεζεκιήλ, χρησμοὺς εὐσεβῶς ἐξήγγελλες, διαγράφων πιστῶς τὴν πρὸς ἡμᾶς θείαν φανέρωσιν.

Διανύων ἐν εὐσεβείᾳ τὸν βίον σου, καὶ εὐκοσμίᾳ πολλῇ καθωραϊζόμενος, καὶ ἤθεσι χρηστοῖς κατακοσμούμενος, Προφήτης ἀνεδείχθης ἀληθής, πρεσβεύων ὑπὲρ τῶν δούλων σου.

Θεοτόκιον.

Ὡς οὖσα τῆς κτίσεως ἀνωτέρα, πάσης τὸν Κτίστην καὶ Θεὸν ἐν μήτρᾳ συνέσχες, Παρθένε καὶ ἐκύησας, βροτῶν εἰς ἀπολύτρωσιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Καταβασία.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Ὠδὴ γ΄. Εἱρμός.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Ἡ ῥῆσίς σου κήρυγμα, θεόδοτον γέγονεν, δι' οὗ ἡμῖν τὰ μέλλοντα ἐφανέρωσας, Προφῆτα τρισόλβιε.

Ἀγάλλεσαι θεώμενος, τὴν τῶν προρρήσεων ἐπαλήθευσιν, προφῆτα μακάριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἥλιος ἀνέτειλεν, ὡς σὺ προεφήτευσας, Ἰεζεκιὴλ παμμακάριστε, ἐκ τῆς Παρθένου γεννηθεὶς ὡς προέφης θεόληπτε.

Θεοτοκίον

Τὴν ψυχήν μου καὶ τὴν διάνοιαν, ἐν σοὶ Θεοτόκε τίθημι, χαίρω εὐφραινόμενος Πανάμωμε ἐπὶ τῷ τόκῳ σου.

Καταβασία

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντες, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

Κάθισμα. ἦχ. γ΄.

Τοῦ Ναοῦ τὴν ἀναστήλωσιν, καὶ τῆς Ἱερουσαλὴμ τὴν ἀνίδρυσιν, ὀρθῶς προεφήτευσας, θείῳ Πνεύματι ἐμφορούμενος, Ἰεζεκιὴλ παναοίδιμε, ὅθεν πρέσβευε Χριστῷ τῷ Θεῷ ἡμῶν, πταισμάτων τὴν ἄφεσιν δωρήσασθαι πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δόξα. ἦχ. γ΄. Θείας πίστεως

Ἔργοις ἔλαμψας διακηρύττων, τὴν ἐπίλαμψιν προαινίως τοῦ Μεσσίου καὶ ποιμένος τὴν ὕπαρξιν, τοῖς αἰχμαλώτοις τὸν ῥύπον κατέδειξας, καὶ πρὸς μετάνοιαν πάντας ἀνήγαγες,

οὕτω πρέσβευε Χριστῷ τῷ Θεῷ δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον

Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος

Δεῦτε οἱ νόσων παντοίων πάντες ὀχλούμενοι τῇ πηγῇ τῆς Παρθένου πίστει προσέλθωμεν· παρέχει γὰρ πᾶσι δαψιλῶς, ναμάτων ζωηρρύτων δωρεάς, καὶ πλουσίως διενέμει τοῖς πιστοῖς τὰ ἰάματα. Δόξα σοι, ὦ Πανάσπιλε Ἁγνή, δόξα τῇ Ζωοδόχῳ σου Πηγῇ, δόξα σοι τῇ ἐλπίδι τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ Δ'. Εἱρμὸς

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντας σε.

Σκίρτησον Ἰεζεκιήλ, ὁ γὰρ Ποιμὴν ἔρχεται, ὡς προανήγγειλας, σταυρωθῆναι ἐπὶ ξύλου ζωοποιοῦ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι, σώζων τὸν ἄνθρωπον.

Προφήτης γενόμενος, τῆς Οὐρανίου Μάκαρ συγκαταβάσεως, πᾶσι τοῖς λαοῖς ἐκήρυξας τὴν σωτηρίαν ἡμῶν.

Τὸ Πνεῦμα τὸ Ἅγιον, παραστάτης ἐγένετο τοῖς σοφοῖς ῥήμασι καὶ ἀποφθέγμασι, θεομακάριστε, ἐν Χαλδαίᾳ γὰρ προέλεγες, Κυρίου τὴν ἐπιφάνειαν.

Θεοτοκίον

Τὴν ἁμαρτίαν τοῦ πρωτοπλάστου, Δέσποινα μετήλλαξας, διὰ τοῦ τόκου σου, αὐτὸν ἱκέτευε Μητροπάρθενε.

Καταβασία

Τὴν ἀνεξιχνίαστον Θείαν βουλήν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ Ε'. Εἱρμὸς

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πατρός, ἐνυποστάτῳ σοφίᾳ Χριστέ· οὐ γὰρ ἔστιν Ἅγιος, πλὴν σοῦ φιλάνθρωπε.



Τὴν παρουσίαν τοῦ Χριστοῦ προανήγγειλας, Ποιμένα αὐτὸν προδιαγράψας, θεόφρον Ἰεζεκιήλ, ὑπὸ Πνεύματος ἐμφορούμενος.

Προφήτης ἀνεδείχθης, καὶ ἐλεγκτὴς δυσσεβοῦς λαοῦ ἐν Βαβυλῶνι, καὶ θάνατον ὑπέμεινας, ὡς μάρτυς ἀληθὴς καὶ δαφνηστέφανος.

Θεὸς σὲ ἐδόξασε, προφητικὸν χάρισμα δωρησάμενος, καὶ τὸν Θεὸν διεκήρυξας ὡς Ποιμένα καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον

Ζωοποίησόν με, δεδοξασμένη Θεοτόκε, καὶ νέκρωσόν μου τῆς ἁμαρτίας τὸ φρόνημα, ἵνα σὲ δοξάζω τὴν κεχαριτωμένην.

Καταβασία

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ Θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύοντα.

Ὠδὴ Ϛ'. Εἱρμὸς

Ἐβόησε προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ προφήτης Ἰωνᾶς, ἐν τῷ κήτει δεόμενος. Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν Δυνάμεων.

Οἱ ζόφῳ πάλαι καλυπτόμενοι, εἶδον φῶς οὐράνιον, προφητικῶς διδασκόμενοι, τοῦ Κυρίου τὴν ἔλευσιν ἐκ τῆς ῥίζης Ἰεσσαί, ὡς Ποιμένος παγκοσμίου.

Τὸν Ναόν σου τὸν τίμιον, ἀνήγειρας Χριστέ, ὡς ὁ Προφήτης ἐφθέγξατο, ἐν μέσῳ δεινῶν αἰχμαλωσίας, καὶ τὸν λαὸν ἐπανήγαγες εἰς γῆν ἐπαγγελίας.

Ὑπὸ Θεοῦ, ὁ Προφήτης ἐμπνευσθείς, μετὰ δόξης ἐκήρυττε τὴν ἀπολύτρωσιν, ἐν Βαβυλῶνι κατατρυχόμενος, καὶ τὸν Κύριον προέλεγε, Σωτῆρα πάντων ἡμῶν.

Θεοτοκίον

Ὁ λόγος ἐκ Παρθένου σαρκωθείς, τὸν πεπτωκότα Ἀδὰμ ἀνεκάλεσε, καὶ κόσμον ἐφώτισεν, εἰς νομὰς σωτηρίους.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κατεβασία

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Κοντάκιον ἦχ. γ΄.

Ἔργοις ἔλαμψας, διακηρύττων τὴν ἐπίλαμψιν προαιωνίως, Μεσσίου καὶ Ποιμένος τὴν ὕπαρξιν, τοῖς αἰχμαλώτοις τὸν ῥύπον κατέδειξας, καὶ πρὸς μετάνοιαν πάντας ἀνήγαγες, οὕτω πρέσβευε Χριστῷ τῷ Θεῷ ἡμῶν, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Οἶκος

Δεῦτε πάντες, Ἰεζεκιὴλ τοῦ μεγάλου Προφήτου τὴν μνήμην, ἐν τῷ σπηλαίῳ ἑορτάσωμεν πιστῶς. Οὗτος γὰρ αἰχμάλωτος ἐν Χαλδαίᾳ τὸν Χριστὸν ὡς Ποιμένα προεκήρυξε, καὶ Λαὸν τὸν Ἰσραὴλ εἰς πίστιν προκατήχησε. Αὐτῷ βοήσωμεν, σῶσον κινδύνων τούς σὲ μακαρίζοντας.

Συναξάριον

Τῷ αὐτῷ μηνί, Ἰουλίου ΚΓ΄. Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου καὶ ἐνδόξου Προφήτου Ἰεζεκιήλ, οὗ Πάνσεπτος ὁ Ναὸς ἵδρυται ἐν Σπηλαίῳ ἐν τῷ ὄρει Βελανιδιᾷ τῆς Ἁγιωτάτης Ἐπισκοπῆς Μεσσηνίας, ἔνθα ἐτησίως καὶ ἡ Σύναξις Αὐτοῦ ἐπιτελεῖται.

Στιχ. *«Ἰζεκιὴλ ἐβράϊζε κἂν πόλῳ,*
*»Ἀδωναΐ, βλέπω σὲ φάσκων Κυρίῳ.*
*»Θεῖον Ἰεζεκιὴλ ἱεροῖς ὕμνοι σι γεραίρω.»*

Οὗτος ὁ Ἅγιος Ἰεζεκιὴλ ἦτο εἷς ἐκ τῶν μεγάλων προφητῶν, υἱὸς τοῦ ἱερέως Βουζεί, καὶ ἀνεφάνη ὡς Προφήτης τὸ 594 ἔτος π. Χ. προφητεύσας ἐπὶ εἴκοσιν ἔτη. Μετηνέχθη καὶ οὗτος αἰχμάλωτος εἰς Βαβυλῶνα μετὰ τοῦ βασιλέως Ἰεχωνία καὶ ἔζη μεταξὺ τῶν αἰχμαλώτων Ἰουδαίων. Προεφήτευσεν εἰς αὐτοὺς ἐν Χαλδαίᾳ τὴν αἰχμαλωσίαν καὶ καταστροφὴν τῆς Ἱερουσαλὴμ διὰ τὴν ἁμαρτίαν αὐτῶν, καθὼς προεφήτευσε μεγάλην τιμωρίαν διὰ τοὺς γειτονικοὺς λαοὺς



οἵτινες ἔχαιρον διὰ τὰ παθήματα τοῦ λαοῦ τοῦ Ἰσραήλ. Κατόπιν ὅμως εἶδεν ἐν ὀνείρῳ τὸ θαῦμα τῶν νεκρῶν ὀστῶν, ἅτινα περιεβλήθησαν σάρκας καὶ ἀνέστησαν, καὶ προεῖπε τὴν ἀνάστασιν τοῦ Ἰσραηλιτικοῦ λαοῦ, καὶ τὴν ἐπάνοδον ἐκ τῆς αἰχμαλωσίας, τὴν ἀνοικοδόμησιν τοῦ Ναοῦ καὶ τῆς Ἱερουσαλήμ. Προεφήτευσεν ἐπίσης τὴν εἰς τὸν κόσμον παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραστήσας τὸν κόσμον ὡς πρόβατα διεσκορπισμένα, τὰ ὁποῖα ὁ Ποιμὴν αὐτῶν συναθροίζει εἰς τὴν μάνδραν καὶ ὁδηγεῖ αὐτὰ εἰς τὴν καλὴν βοσκήν. Πᾶσαι δὲ αὗται αἱ προφητεῖαι τοῦ Ἰεζεκιὴλ ἐπηλήθευσαν καὶ ἐξεπληρώθησαν ἐν τῇ Νέᾳ Γραφῇ.

Ὁ Ἰεζεκιὴλ διαμένων ὡς αἰχμάλωτος μεταξὺ τῶν Ἰουδαίων ἔκαμεν εἰς αὐτοὺς καὶ θαύματα πολλὰ λαβὼν παρὰ τοῦ Θεοῦ τὰ χαρίσματα Προφήτου καὶ θαυματουργοῦ. Προσευχηθεὶς εἰς τὸν Θεὸν ἐποίησεν ὥστε νὰ σταθῇ τὸ ὕδωρ τοῦ ποταμοῦ Χοβὰρ ἕως οὗ διῆλθον οἱ Ἰουδαῖοι ἀβλαβεῖς, διέθρεψε διὰ θαύματος ὀψαρίου τοὺς πεινῶντας Ἰουδαίους, καὶ τέλος ἤλεγξε τὴν φυλὴν τοῦ Γὰδ διὰ τὰς ἁμαρτίας αὐτῶν. Οὗτοι ὅμως ἐφόνευσαν τὸν μακάριον Προφήτην, μὴ ἀνεχόμενοι νὰ ἀκούωσι τὰς συμβουλὰς καὶ τοὺς ἐλέγχους καὶ οὕτως ὁ θεόπνευστος Ἰεζεκιὴλ ἔλαβε τοῦ μαρτυρίου τὸν στέφανον διδάσκων τὸν ἕνα καὶ ἀληθῆ Θεόν. Ὁ θάνατός του κατέθλιψεν εἶτα τὸν λαὸν τοῦ Ἰσραὴλ ὅστις ἔθαψεν αὐτὸν εἰς τὸν ἀγρὸν Θούρ, εἰς τὸν τάφον τοῦ Ἀρφαξὰδ ἐντὸς μεγάλου καὶ ἀποκρύφου σπηλαίου.

Ταῖς τοῦ Προφήτου Σου ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ Ζ΄. Εἱρμὸς

Ὡς τὸν Προφήτην ἐρρύσω, ἐκ δεινῆς αἰχμαλωσίας, Χριστὲ ὁ Θεός, ῥῦσαι ἡμᾶς παντοδύναμε, ὡς πολυέλεος Κύριος.

Πρεσβείας τοῦ Προφήτου Ἰεζεκιήλ, δέχου οἰκτίρμον, ὑπὲρ τῶν ἀνυμνούντων καὶ βοώντων. Εὐλογητὸς ὁ παγκόσμιος Ποιμὴν εἰς τοὺς αἰῶνας.

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

Ἐν σκότει με κείμενον, καὶ ἐν δεινῇ αἰχμαλωσίᾳ, ἐν Βαβυλῶνι ταλαιπωρούμενον, ἠλέησας Κύριε, δι' ἀγαθότητα ὡς προέφη ὁ Προφήτης σου.

Ὁ Προφήτης ἐκραύγαζε, Ναβουχοδονόσορ τῷ βασιλεῖ, ὁ Ποιμὴν ἔρχεται αἰχμαλωσίαν καταλύσων, καὶ Ἰσραὴλ τὸν λαὸν αὐτοῦ, καὶ Ναὸν τὸν Ἅγιον ἀποκαταστήσων.

Θεοτοκίον

Καθ' ὑπόστασιν ἡνώθης Λόγε Θεοῦ, ἐκ Παρθένου τεχθείς, πρὸς σωτηρίαν τῶν βοώντων, Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Καταβασία

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ Η'. Εἱρμὸς

Τὸν ἐν Σταυρῷ, σαρκὶ προσηλωθέντα, καὶ ὑποδείξαντα ἡμῖν, ὅπλον εἰς σωτηρίαν, Παῖδες ὑπερυψοῦτε, Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Φωνὴ τοῦ Προφήτου βοῶντος, εἴδατε Ποιμένα καὶ Κύριον, μετὰ δόξης ἐρχόμενον, ὡς Θεὸν σεσαρκωμένον.

Χόρευε ἡ κτίσις ἅπασα, Θεοῦ ἐπιφαινομένου, ὡς ὁ Προφήτης προέφη, ἐν Ἁγίῳ Πνεύματι προκαταγγέλλων.

Ἰεζεκιὴλ καὶ Ἱερεμίας, σαφῶς ὁμοίως προεφήτευσαν, τὴν θείαν κάθοδον, ὑπὸ Πνεύματος ὁδηγούμενοι, καὶ τῷ Λαῷ κατήγγελλον, αἰχμαλωσίας τὴν ἀπολύτρωσιν.

Θεοτοκίον

Ὁ ἐν καμίνῳ τοὺς παῖδας διασώσας, τὸν Ἰεζεκιὴλ κατεκόσμησε, προφητικοῖς χαρίσμασι, διὰ τοῦτο ἐβόα, εὐλογημένος ὁ ἐρχόμενος, διὰ κοιλίας Παρθένου.

Καταβασία

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν



οἰκουμένην ἅπασαν, ἀγείρω ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ Θ'. Εἱρμὸς

Τὸν κηρυχθέντα Ποιμένα ὑπὸ τοῦ Προφήτου, δεῦτε πάντες μεγαλύνωμεν, τὴν Παρθένον τὴν ἀσπόρως τέξασαν μακαρίζοντες, αἰτούμενοι τῶν πταισμάτων τὴν ἄφεσιν.

Τὰς βιωτικὰς φροντίδας ἐπέσεισας Προφῆτα,. ὑφ' Ἁγίου Πνεύματος ἐμπνεόμενος, καὶ τὸν Χριστὸν ἐκήρυξας ὡς παγκόσμιον Ποιμένα, μετὰ δόξης ἐρχόμενον.

Τὴν θεοφεγγῆ τοῦ Προφήτου ἑορτήν, εὐσεβῶς ἐπιτελοῦντες, τούτου, δεόμεθα, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύειν πρὸς τὴν ἡμῶν ἀπολύτρωσιν.

Ψυχῆς ἰάματα καὶ σώματος ἰατρείαν, πάντες λαμβάνουσιν, οἱ εὐσεβῶς τοῦ Προφήτου τὴν μνήμην ἑορτάζοντες, δι' ὃ δεόμεθα, Ἰεζεκιὴλ παμμακάριστε, ὑπὲρ ἡμῶν ἀεὶ πρέσβευε.

Θεοτοκίον

Σὲ τὴν ὁραθεῖσαν πύλην, ὑπὸ Ἰεζεκιὴλ τοῦ Προφήτου, ἐν ᾗ οὐδεὶς διῆλθεν, εἰ μὴ Θεὸς μόνος, Θεοτόκε Παρθένε, ἐν ὕμνοις μεγαλύνομεν.

Καταβασία

Ἅπας γηγενής, σκιρτάτω τῷ Πνεύματι λαμπαδοχούμενος πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε, ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάριον

Ἦχ. γ' Ἐν Πνεύματι τῷ Ἱερῷ

Προφήτην τὸν θεόπνευστον, καὶ θηγόρον κήρυκα πάντες πιστῶς ὑμνήσωμεν, ᾄσμασιν ἐγκωμίοις, καὶ διδαχαῖς δεξώμεθα, πρὸς ψυχικὴν σωτηρίαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἦχ. γ'. Θεοτοκίον

Ἰεζεκιὴλ σὲ πύλην ἀδιόδευτον, Ἁγνή, προεῖδε μετανοίας πύλας, πᾶσιν ὑπανοίγουσαν ἀπεγνωσμένοις, ὅθεν δυσωπῶ σε, τρίβους μοι ὑπάνοιξον, τὰς πρὸς τὰς ἐκεῖθεν, φερούσας καταπαύσεις.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν Στιχηρά, Προσόμοια γ', διπλασιάζοντες τὸ πρῶτον.

Ἦχ. γ'.

Τοῖς πυρίνοις σου κηρύγμασι, τῶν αἰχμαλώτων ἅπασα, ἡ ὁμήγυρις συνταράσσεται, καὶ νοημάτων τοῖς βάθεσιν ἐξεγείρεται, ὁ λαὸς τοῦ Ἰσραὴλ Προφῆτα θεσπέσιε, καὶ εἰς μετάνοιαν ἔρχεται, ἐκ τῶν σῶν θεοπνεύστων διδαχῶν, μεγαλοφώνως δοξάζων σε. (Δὶς).

Ἦχ. γ'.

Τῶν ἐνθέων σου Ἅγιε, διδαγμάτων ἀπέλαυσεν, ὁ λαὸς τοῦ Ἰσραήλ, ἐν Βαβυλῶνι αἰχμάλωτος προσγενόμενος, καὶ τούτου τὴν ἔκβασιν χαρμοσύνως ἐδέξατο, ἡ οἰκουμένη ἅπασα Θεοδίδακτε.

Ἦχ γ'.

Εὐφραίνεσθε αἰχμάλωτοι, τῆς Βαβυλῶνος οἱ ἔγκλειστοι σκιρτήσατε ἅπαντες, Ποιμένος ἐπιφανέντος, ὡς ὁ θεόπτης Προφήτης προκατηγγείλατο, καὶ Ναὸν ἀνήγειρεν ἀνερμήνευτον, οὗ τὴν δόξαν γεραίροντες μεγαλύνωμεν.

Δόξα. Ἦχ. πλ. δ'.

Τῶν Προφητῶν τοὺς θεηγόρους κήρυκας, καὶ φωτοδόχους ἀστέρας, ἐγκωμιάσωμεν πιστοί, Ἰεζεκιὴλ καὶ Ἱερεμίαν, τοὺς κοινῶς βοήσαντας ἐν Χαλδαίᾳ καὶ Ἰουδαίᾳ, χαρμονικῶς δόξαν τῷ Θεῷ ἀναπέμποντες πολυέλεε Κύριε, πρεσβείαις τῶν προφητῶν σου, παράσχου ἡμῖν, τὸ μέγα ἔλεος.



Καὶ νῦν. Θεοτοκίον

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ'. καὶ ς'.—Ἀπόστολος. Πρὸς Κοριν. Α'. Παύλου «Ἀδελφοὶ ὅτε ἤμην νήπιος» Κεφ. ΙΓ' 11. Ἰουλίου. 15. Εὐαγγέλιον. Ματθαίου «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς.» ἴδε 18 Ἰανουαρ. Κοινωνικόν. Εἰς Μνημόσυνον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ